ΥΠΗΡΕΣΙΑ

ΣΕΜΝΟΤΑΤΩ, καὶ ΤΙΜΙΩΤΑΤΩ ΤΩ ΚΥΡΙΩ ΑΔΑΜΩ ΟΠΑΤΟΒΙΩ, ΤΩ ΕΝΔΟΞΟΤΑΤΩ ΑΝΔΡΙ

ΤΗΣ ΘΕΟΛΟΓΙΑΣ ΔΙΔΑΣΚΑΛΩ, ΔΕΚΑΝΩ ΕΠΙ ΤΩ ΤΗΣ ΑΓΙΑΣ ΑΝΝΗΣ
ἱερῷ, καὶ τὰ ἑξῆς τῷ κυρίῳ καὶ εὐεργέτῃ μεγίστῳ.

Ἄρχετε Σαρματικαὶ Μοῦσαι, δάφνης τόδ᾽ ἄγαλμα
Ἐλλογίμῳ ΑΔΑΜΩ χρύσεα δῶρα φέρειν.
Αἶνος ΟΠΑΤΟΒΙΩ τι δίκαιος μήποτ᾽ ὀλεῖται,
Ὃν Παλλὰς σφετέροις χερσὶν ὕπερθεν ἔχει.
Αὐτὰρ τρεῖς ΧΑΡΙΤΕΣ τοίῳ τῷ σύμφερον ἔργον
Δωρεῖν, ἐν τούτοις πράγμασιν εὐδοκίμῳ.
Εὐφροσύνην, Θάλειαν, Ἀγλαΐαν, ἔρχεται ἀνδρὶ
Δοξᾷ σόφῳ, πολλοῖς ἔργμασι πειθομένῃ.
Οὕνεκα τῆς ἀρετῆς φίλεων, παρὰ δῶρα διδαχθείς,
Χρυσολύρης Μούσης ἄκρον ἐπιστάμενος.
Ἀμβροσίης σοφίης τε φίλος, γλώττης τε Πελασγῆς,
Τῶνδε λόγων ἁγίων πρόξενος ἐμπείραμος:
Ἀφ᾽ ὧν οὐκ νίκησε φθόνος τ᾽ ἀνδρ᾽ ἀλλὰ πέλωρον
Τοὔνομα σφραγίζειν, καὶ κλέος οὐ δύναται.

Εἰς τ᾽ αὐτόν.

Ἱερὴ κεφαλή, πολλοῦς τε πόνους τε μερίμνας
Καρτερικὴ, πειθοῦς ἡδυλόγης γέρας.
Χαῖρε κλυτοῦ ΙΑΓΕΛΛΩΝΟΣ μέγα εὖχος Ἀθήνης,
Τὰς ἀρετὰς σκοπέεις, εἴθε νόον τε δύνῃ.

Ἄλλο

Σωφροσύνη, σὺν ταῖς ἀρεταῖς, καὶ θεῖος Ἀπόλλων,
Εὔχονται ΑΔΑΜΩ ἐνθάδε ναιετάειν.

Περὶ ἑαυτοῦ.

ΣΧΩΝΕΑΝΟΣ δὲ κατατρεμένος σοὶ ταῦτα δέδωκα,
Σμικρὰ δὲ μετρ᾽ ὄντως, σὺ λάβε γ᾽ εὐνοϊκῶς.

M. A. D.

Typis Francisci Cæsarij, M. DC. XXVIII.

Schroneus

Auctor: Draski

Georg yel

